οὕτως οἱ δαιμόνων γένος μὴ ἀπολείποντες ἀνεπίμικτα τὰ
τῶν θεῶν καὶ ἀνθρώπων ποιοῦσι καὶ ἀσυνάλλακτα, τὴν
ἑρμηνευτικήν, ὡς Πλάτων (Pol. 260 d) ἔλεγεν, καὶ διακο- F
νικὴν ἀναιροῦντες φύσιν, ἢ πάντα φύρειν ἅμα καὶ ταράτ-
τειν ἀναγκάζουσιν ἡμᾶς τοῖς ἀνθρωπίνοις πάθεσι καὶ
πράγμασι τὸν θεὸν ἐμβιβάζοντας καὶ κατασπῶντας ἐπὶ
τὰς χρείας, ὥσπερ αἱ Θετταλαὶ λέγονται τὴν σελήνην. |
ἀλλ' ἐκείνων μὲν ἐν γυναιξὶ τὸ πανοῦργον ἔσχε πίστιν, 417
Ἀγλαονίκης τῆς Ἡγήτορος, ὥς φασιν, ἀστρολογικῆς γυ-
ναικός, ἐν ἐκλείψει σελήνης ἀεὶ προσποιουμένης γοητεύειν
καὶ καθαιρεῖν αὐτήν· ἡμεῖς δὲ μήτε μαντείας τινὰς ἀθειά-
στους εἶναι λέγοντας ἢ τελετὰς καὶ ὀργιασμοὺς ἀμελουμέ-
νους ὑπὸ θεῶν ἀκούωμεν μήτ' αὖ πάλιν τὸν θεὸν ἐν τού-
τοις ἀναστρέφεσθαι καὶ παρεῖναι καὶ συμπραγματεύε-
σθαι δοξάζωμεν, ἀλλ' οἷς δίκαιόν ἐστι ταῦτα λειτουργοῖς
θεῶν ἀνατιθέντες ὥσπερ ὑπηρέταις καὶ γραμματεῦσι δαί-
μονας νομίζωμεν ἐπισκόπους [θεῶν] ἱερῶν καὶ μυστηρίων
ὀργιαστάς, ἄλλους δὲ τῶν ὑπερηφάνων καὶ μεγάλων τιμω-
ροὺς ἀδικιῶν περιπολεῖν. τοὺς δὲ πάνυ σεμνῶς ὁ Ἡσίοδος B
(OD 123. 126) 'ἁγνούς' προσεῖπε 'πλουτοδότας, καὶ τοῦτο
γέρας βασιλήιον ἔχοντας', ὡς βασιλικοῦ τοῦ εὖ ποιεῖν
ὄντος. εἰσὶ γάρ, ὡς ἐν ἀνθρώποις, καὶ δαίμοσιν ἀρετῆς
διαφοραὶ καὶ τοῦ παθητικοῦ καὶ ἀλόγου τοῖς μὲν ἀσθενὲς
καὶ ἀμαυρὸν ἔτι λείψανον ὥσπερ περίττωμα τοῖς δὲ πολὺ
καὶ δυσκατάσβεστον ἔνεστιν, ὧν ἴχνη καὶ σύμβολα πολ-
λαχοῦ θυσίαι καὶ τελεταὶ καὶ μυθολογίαι σῴζουσι καὶ
διαφυλάττουσιν ἐνδιεσπαρμένα.'